Διάκονος.— «Στῶμεν μετά φόβου· στῶμεν μετά τρόμου. στῶμεν καλῶς καί ἴδωμεν μετά προσοχῆς».

Ὁ Χορός.— «Σοί, Κύριε».

Ὁ Διάκονος.— «Θυσία προσφέρεται Χριστός, ὁ ἀμνός τοῦ Θεοῦ».

Ὁ Χορός.— «Ἔλεος καί Εἰρήνη καί Θυσία αἰνέσεως».

Ὁ Διάκονος.— «Εὐλόγησον, Κύριε».

Ὁ Ἱερεύς.— «Ἡ χάρις καί ἡ ἀγάπη καί ἡ θεία ἁγιάζουσα δύναμις τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος (εὐλογῶν) εἴη μετά πάντων ὑμῶν».

Ὁ Χορός.— «Ἀμήν· καί τῷ Πνεύματί σου».

Ὁ Διάκονος.— «Τάς θύρας, τάς θύρας· ἐν πάσῃ σοφίᾳ καί προσοχῇ ἄνω σχῶμεν τάς καρδίας καί ἐν θείῳ φόβῳ».

Ὁ Χορός.— «Ἔχομεν πρός σέ, Κύριε παντοκράτορ».

Ὁ Διάκονος.— «Εὐχαριστήσωμεν τῷ Κυρίῳ ἐξ ὅλης καρδίας».

Ὁ Χορός.— «Ἄξιον καί δίκαιον».

Ψαλλομένων τῶν ἀνωτέρω, ὁ Ἱερεύς εὔχεται μυστικῶς ὡς ἑξῆς:

«Ἄξιον καί ὄντως δίκαιον μετά πάσης προθυμίας προσκυνεῖν πάντοτε καί δοξάζειν σέ τόν παντοκράτορα Πατέρα, ὅς, διά τοῦ ἀνεικάστου καί

δημιουργοῦ Λόγου σου, ἦρας τό μεσότοιχον τῆς κατάρας ἀναδειξάμενος νέον λαόν περιούσιον, τήν Ἐκκλησίαν τῶν εἰς σέ πιστευόντων. Καί ψηλαφητῇ φύσει, κατά τήν ἐκ Παρθένου οἰκονομίαν, κατεδέξατο (ὁ Υἱός Λόγος) σκηνῶσαι ἐν ἡμῖν καί μεταβαλεῖν, διά τῆς θείας πλαστουργικῆς δυνάμεως, τήν γῆν εἰς οὐρανόν· καθότι ἐκεῖνος, πρός σέ τό θεῖον καί ἀπρόσιτον ὑπέρλαμπρον φῶς αἱ ἐν οὐρανοῖς εὐφραινόμεναι στρατιαί ἀδυνατοῦσιν ἀτενίσαι, ἐγένετο ἄνθρωπος διά τήν ἡμετέραν σωτηρίαν, χαρισάμενος ἡμῖν ὀρχεῖσθαι μετά τῶν οὐρανίων χορόν πνευματικόν».

Ὁ Διάκονος.- «Εὐλόγησον, Κύριε».

Ὁ Ἱερεύς (ἐκφώνως).- «Μετά δέ τῶν Σεραφίμ καί τῶν Χερουβίμ ὁμοφώνως καί παρρησίᾳ τόν τρισάγιον ὕμνον ᾄσωμεν βοῶντες, κεκραγότες καί λέγοντες».

Ὁ Χορός.- «Ἅγιος, ἅγιος, ἅγιος, Κύριος τῶν δυνάμεων· πλήρεις οἱ οὐρανοί καί ἡ γῆ τῆς δόξης σου· εὐλογία τῷ ἐν ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὡσαννά τῷ ἐν ὑψίστοις.

Ψαλλομένων τῶν ἀνωτέρω, ὁ Ἱερεύς ποιεῖ μυστικῶς τήν εὐχήν ταύτην.

«Ἅγιος, ἅγιος, ἅγιος εἶ ὡς ἀληθῶς καί πανάγιος· τίς δύναται περιγράψαι διά λόγου τό

πλῆθος τῆς πρός ἡμᾶς, σου εὐσπλαγχνίας; ὁ τόν
ἐκ τοῦ Παραδείσου διά τήν ἁμαρτίαν πεπτω-
κότα πολυτρόπως ἐπισκεψάμενος καί παρη-
γορήσας διά τῶν Προφητῶν, τοῦ νόμου, τῆς
ἱερωσύνης καί τῆς συνεχοῦς προσφορᾶς δαμά-
λεων εἰς θυσίαν· ἵνα δέ ἐξαλείψῃς πᾶσαν κα-
ταδίκην τῶν ὀφειλημάτων ἡμῶν, ἔδωκας
ἡμῖν εἰς τό πλήρωμα τῶν καιρῶν τόν Υἱόν
σου τόν μονογενῆ ὀφειλέτην καί ὀφείλημα,
θυσίαν καί Χριστόν, ἀμνόν καί οὐράνιον
ἄρτον, ἀρχιερέα καί προσφοράν· αὐτός
γάρ ἐστιν ὁ προσφέρων καί αὐτός ὁ ἀεί προσ-
φερόμενος ἐν τῷ μέσῳ ἡμῶν ἀνεκποιήτως.
Ἐγένετο ἀληθῶς ἄνθρωπος καί οὐ δοκήσει, ἀ-
συγχύτως ἑνωθείς σαρκωθείς ἐκ τῆς Θεοτόκου
καί Ἁγίας Παρθένου Μαρίας. Διέτριψε με-
τά τῶν ἀνθρώπων, καί ἐν παντί ἔργῳ αὐ-
τῶν βιωτικῷ, ἄνευ ἁμαρτίας. Ὁ τῷ κόσμῳ
διδούς ζωήν καί αἴτιος τῆς ἡμετέρας σωτηρίας,
ἦλθεν ἑκουσίως εἰς τό σταυρωθῆναι· λαβών δέ τόν
ἄρτον ἐπί τῶν θείων, ἀθανάτων, ἀχράντων
καί δημιουργικῶν αὐτοῦ χειρῶν καί εὐλογή-
σας, εὐχαριστήσας καί κλάσας ἔδωκε τοῖς
ἐκλεκτοῖς αὐτοῦ ἀξίοις καί καθημένοις
εἰπών.

Ὁ Διάκονος.- «Εὐλόγησον, Κύριε».

Ὁ Ἱερεύς (ἐκφώνως).- «Λάβετε, φάγετε, τοῦτό ἐστι
τό Σῶμα Μου, τό ὑπέρ ὑμῶν καί πολλῶν
προσφερόμενον εἰς ἱλασμόν καί ἄφεσιν
ἁμαρτιῶν».

Οἱ Χοροί.- «Ἀμήν».

ὁ Ἱερεὺς μυστικῶς·

«Ὁμοίως καὶ τὸ ποτήριον λαβών, εὐλογήσας καὶ εὐχαριστήσας, πιὼν ἔδωκε τοῖς ἐκλεκτοῖς αὐτοῦ ἁγίοις καὶ καθημένοις μαθηταῖς εἰπών»·

ὁ Διάκονος.- «Εὐλόγησον, Κύριε».

ὁ Ἱερεὺς (ἐκφώνως).- «Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ Αἷμά Μου, τὸ τῆς Καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἱλασμὸν καὶ ἄφεσιν ἁμαρτιῶν».

ὁ Χορός.- «Ἀμήν. Πάτερ ἐπουράνιε, ὁ τὸν Υἱόν σου τῷ θανάτῳ παραδοὺς εἰς ἄφεσιν τῶν ὀφειλημάτων ἡμῶν, δεόμεθά σου, χάριτι τοῦ ἐκχυθέντος αὐτοῦ αἵματος, ἐλέησον τὸ σὸν λογικὸν ποίμνιον».

Ψαλλομένου τοῦ ἀνωτέρω, ὁ Ἱερεὺς ποιεῖ μυστικῶς τὴν ἀκόλουθον εὐχήν·

«Καὶ τοῦτο ποιεῖν πάντοτε εἰς ἀνάμνησιν αὐτοῦ ἐνετείλατο ἡμῖν ὁ πανάγαθος Υἱός σου ὁ μονογενής, ὁ κατελθὼν εἰς τὰ καταχθόνια τοῦ θανάτου τῷ ἐκ τῆς ἡμετέρας φύσεως προσληφθέντι ὑπ' αὐτοῦ σώματι, καὶ κατασυντρίψας, ἐν τῇ ἰσχύϊ αὐτοῦ, τοὺς μοχλοὺς τοῦ Ἅδου, οὐ μόνον κατέδειξεν ἡμῖν τὸν μόνον ἀληθινὸν Θεόν, Θεὸν ζώντων τε καὶ τεθνεώτων».

Καὶ λαμβάνων τὰ θεῖα δῶρα ἀνὰ χεῖρας λέγει μυστικῶς·

Καὶ ἡμεῖς οὖν, Κύριε, κατὰ τὴν ἐντολὴν ταύτην, προσφέροντες τὸ μυστήριον τοῦτο τοῦ σωτηρίου σώματος καὶ αἵματος τοῦ Μονογενοῦς σου, μνημονεύομεν τῆς ὑπὲρ ἡμῶν σωτηρίας πα-

θημάτων, τῆς ζωηφόρου σταυρώσεως, τῆς τριημέρου ταφῆς, τῆς μακαρίας ἀναστάσεως, τῆς θείας ἀναλήψεως, τῆς ἐκ δεξιῶν σου τοῦ Πατρὸς καθέδρας καὶ τῆς φοβερᾶς καὶ ἐνδόξου δευτέρας παρουσίας αὐτοῦ. Ὁμολογοῦμεν καὶ εὐλογοῦμεν».

Εἶτα ἀνυψῶν ὀλίγον τὰ θεῖα δῶρα, τίθησι ταῦτα ἐπὶ τῆς Ἁγίας Τραπέζης.

Ὁ Διάκονος.— «Εὐλόγησον, κύριε».

Ὁ Ἱερεὺς (ἐκφώνως) — «Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα καὶ διὰ πάντα».

Ὁ Χορός.— «Κατὰ πάντα εὐλογημένος εἶ, Κύριε· αἰνοῦμέν σε, εὐλογοῦμέν σε, εὐχαριστοῦμέν σοι, δεόμεθά σου, Κύριε ὁ Θεὸς ἡμῶν».

Ἐνῷ ψάλλονται τὰ ἀνωτέρω, ὁ Ἱερεὺς ποιεῖ μυστικῶς μυστικῶς τὴν ἀκόλουθον εὐχήν».

«Σὲ ὄντως αἰνοῦμεν, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ σοὶ εὐχαριστοῦμεν πάντοτε· ὁ παριδὼν τὴν ἡμετέραν ἀναξιότητα καὶ τάξας ἡμᾶς λειτουργοὺς τοῦ τοιούτου φρικτοῦ καὶ ἀρρήτου μυστηρίου, οὐ διὰ τὰς ἡμετέρας ἀγαθοεργίας, ὧν ὅλων ἀμοιροῦμεν καὶ κενοὶ πάντως ἐσμὲν ἀεί, ἀλλὰ θαρροῦντες εἰς τὴν ἄπειρον ἐπιείκειάν σου τολμῶμεν προσελθεῖν τῇ λειτουργίᾳ τοῦ σώματος καὶ αἵματος τοῦ Μονογενοῦς σου Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει ἡ δόξα, τὸ κράτος, καὶ ἡ τιμὴ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν».

Ὁ Διάκονος. — «Εὐλόγησον, Κύριε».
Ὁ Ἱερεὺς (ἐκφώνως) — «Εἰρήνη πᾶσι».
Ὁ Χορός. — «Καὶ τῷ πνεύματί σου».
Ὁ Διάκονος. — «Τὸν Θεὸν προσκυνήσωμεν».
Ὁ Χορός. — «Ἐνώπιόν σου, Κύριε, Υἱὲ Θεοῦ, ὁ τυθεὶς πρὸς καταλλαγὴν ἡμῶν τῷ Πατρί σου καὶ διδοὺς ἡμῖν, διὰ τοῦ ἐκχυθέντος αἵματός σου, ἄρτον ζωῆς, δεόμεθά σου, ἐλέησον τὸ ἐν αἵματί σου σωθὲν ποίμνιον».
Ψαλλομένων τῶν ἀνωτέρω, ὁ Ἱερεὺς κλίνας προσκυνεῖ τὴν ἁγίαν Τράπεζαν λέγων τὰ ἑξῆς·

«Προσκυνοῦμεν, δεόμεθα καὶ αἰτοῦμεν παρὰ σοῦ, ἀγαθοποιὲ Θεέ, πέμψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα τὸ συναΐδιον καὶ ὁμοούσιόν σου ἅγιον Πνεῦμα».
Ὁ Διάκονος ἔρχεται παρὰ τῷ Ἱερεῖ μετ' εὐλαβείας λέγων ἡσύχως·
«Εὐλόγησον, Κύριε».

Ὁ Ἱερεὺς σφραγίσας λαμβάνει τὸν ἅγιον ἄρτον εἰς χεῖρας λέγων μυστικῶς καὶ εὐλογεῖ συγχρόνως.
«Δι' οὗ εὐλογήσας, σῶμα ἀληθὲς ἀναδείξῃς τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ».
Ὁ Διάκονος. — «Ἀμήν».
«Δι' οὗ εὐλογήσας, σῶμα ἀληθὲς ἀναδείξῃς τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ

- ὁ Διάκονος.— «Ἀμήν»

«Δι' οὗ εὐλογήσας, Σῶμα ἀληθὲς ἀνάδειξης τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ».

ὁ Διάκονος.— «Ἀμήν»

ὁ Ἱερεὺς λαβὼν διὰ τῆς ἀριστερᾶς τὸ ποτήριον λέγει.

«Καὶ τὸ ποτήριον εὐλογήσας, Αἷμα ἀληθὲς ἀνάδειξης τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ».

ὁ Διάκονος.— «Ἀμήν»

«Καὶ τὸ ποτήριον εὐλογήσας, Αἷμα ἀληθὲς ἀνάδειξης τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ».

ὁ Διάκονος.— «Ἀμήν».

«Καὶ τὸ ποτήριον εὐλογήσας, Αἷμα ἀληθὲς ἀνάδειξης τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ».

ὁ Διάκονος — «Ἀμήν».

Εἶτα ὁ ἱερεὺς λαμβάνει τὸ δισκάριον καὶ τίθησιν αὐτὸ ἐπὶ τοῦ ἱεροῦ ποτηρίου, λέγων τὰ ἑξῆς.

«Τὸν ἄρτον καὶ τὸν οἶνον εὐλογήσας, Σῶμα καὶ Αἷμα ἀληθὲς ἀνάδειξης τοῦ Κυρίου ἡμῶν καὶ

σ